σου ἐπὶ σὲ δώσω, καὶ τὰ βδελύγματά σου ἐν μέσῳ σου ἔσονται,
καὶ ἐπιγνώσῃ διότι ἐγώ εἰμι κύριος ὁ τύπτων. [7]νῦν τὸ πέρας πρὸς 7
σέ, καὶ ἀποστελῶ ἐγὼ ἐπὶ σὲ καὶ ἐκδικήσω σε ἐν ταῖς ὁδοῖς σου
καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου· [8]οὐ φείσεται ὁ ὀφ- 8
θαλμός μου ἐπὶ σέ, οὐδὲ μὴ ἐλεήσω, διότι τὴν ὁδόν σου ἐπὶ σὲ
δώσω, καὶ τὰ βδελύγματά σου ἐν μέσῳ σου ἔσται· καὶ ἐπιγνώσῃ
διότι ἐγὼ κύριος. [9]διότι τάδε λέγει κύριος [10]Ἰδοὺ τὸ πέρας ἥκει, 9 10
ἰδοὺ ἡμέρα κυρίου· εἰ καὶ ἡ ῥάβδος ἤνθηκεν, ἡ ὕβρις ἐξανέστηκεν.
[11]καὶ συντρίψει στήριγμα ἀνόμου καὶ οὐ μετὰ θορύβου οὐδὲ μετὰ 11
σπουδῆς. [12]ἥκει ὁ καιρός, ἰδοὺ ἡ ἡμέρα· ὁ κτώμενος μὴ χαιρέτω, 12
καὶ ὁ πωλῶν μὴ θρηνείτω· [13]διότι ὁ κτώμενος πρὸς τὸν πωλοῦντα 13
οὐκέτι μὴ ἐπιστρέψῃ, καὶ ἄνθρωπος ἐν ὀφθαλμῷ ζωῆς αὐτοῦ οὐ
κρατήσει. [14]σαλπίσατε ἐν σάλπιγγι καὶ κρίνατε τὰ σύμπαντα. 14
[15]ὁ πόλεμος ἐν ῥομφαίᾳ ἔξωθεν, καὶ ὁ λιμὸς καὶ ὁ θάνατος ἔσω- 15
θεν· ὁ ἐν τῷ πεδίῳ ἐν ῥομφαίᾳ τελευτήσει, τοὺς δὲ ἐν τῇ πόλει
λιμὸς καὶ θάνατος συντελέσει. [16]καὶ ἀνασωθήσονται οἱ ἀνασῳζόμε- 16
νοι ἐξ αὐτῶν καὶ ἔσονται ἐπὶ τῶν ὀρέων· πάντας ἀποκτενῶ, ἕκα-
στον ἐν ταῖς ἀδικίαις αὐτοῦ. [17]πᾶσαι χεῖρες ἐκλυθήσονται, καὶ 17
πάντες μηροὶ μολυνθήσονται ὑγρασίᾳ, [18]καὶ περιζώσονται σάκκους, 18
καὶ καλύψει αὐτοὺς θάμβος, καὶ ἐπὶ πᾶν πρόσωπον αἰσχύνη ἐπ᾿
αὐτούς, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα. [19]τὸ ἀργύριον αὐτῶν 19
ῥιφήσεται ἐν ταῖς πλατείαις, καὶ τὸ χρυσίον αὐτῶν ὑπεροφθήσεται·
αἱ ψυχαὶ αὐτῶν οὐ μὴ ἐμπλησθῶσιν, καὶ αἱ κοιλίαι αὐτῶν οὐ μὴ
πληρωθῶσιν· διότι βάσανος τῶν ἀδικιῶν αὐτῶν ἐγένετο. [20]ἐκλεκτὰ 20
κόσμου εἰς ὑπερηφανίαν ἔθεντο αὐτὰ καὶ εἰκόνας τῶν βδελυγμά-
των αὐτῶν ἐποίησαν ἐξ αὐτῶν· ἕνεκεν τούτου δέδωκα αὐτὰ αὐτοῖς
εἰς ἀκαθαρσίαν. [21]καὶ παραδώσω αὐτὰ εἰς χεῖρας ἀλλοτρίων τοῦ 21
διαρπάσαι αὐτὰ καὶ τοῖς λοιμοῖς τῆς γῆς εἰς σκῦλα, καὶ βεβηλώ-

7 (𝔐 3) σε 3⁰ > B || 8 (𝔐 4) επι σε 1⁰ > B† | επιγνωση B†] επι > rel. | διοτι ult.] οτι A || 9 (𝔐 5¹) κυριος BA] pr. αδωναι Q (in *O* sub ※): cf. 5 5 || 10 ιδου το περας ηκει / ιδου (+ η BQ) ημερα κυριου] tr. AQ | κυριου ει: sic (κῡ ει) B†, unde manauit κυει Qpau., cf. Corn. p. 214 | ει > A pl., sed hoc loco omn. excepto B add. εξηλθεν η πλοκη (in *O* sub ※) | η ραβδος / ηνθηκεν] tr. A = 𝔐 | η υβρις / εξανεστ.] tr. A: = 𝔐? uel εξανεστ. = 11 קם? || 11 θορυβων A | fin. B†] + και ουκ εξ αυτων εισιν ουδε (uel ουτε) ωραισμος εν αυτοις rel. (in *O* sub ※) || 12 fin. B†] + οτι (*L* διοτι) οργη εις παν το πληθος αυτης rel. (in *O* sub ※) || 13 ουκετι μη] ουκετι ου μη A mu. | επιστρ. B†] + και ετι εν ζωη το ζην αυτων οτι ορασις εις παν το πληθος αυτης ουκ ανακαμψει uel sim. rel. (in *O* sub ※) || 14 και > A† | fin. B†] + και ουκ εστιν πορευομενος εις τον πολεμον οτι η οργη μου εις παν το πληθος αυτης uel sim. rel. (in *O* sub ※) || 15 ο 4⁰ ... τελευτησει] οι ... -σουσι A || 16 ορεων B†] + ως περιστεραι μελετητικαι rel. (in *O* sub ※) || 17 υγρασιας B pau. || 19 υπεροφθ. B†] + το αργυριον αυτων και το χρυσιον αυτων ου δυνη(θη)σεται εξελεσθαι αυτους εν ημερα οργης κυριου rel. (in *O* sub ※) || 21 διαρπ.] διαφθειραι A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/783 UNIVERSITÄT LEIPZIG